οἱ ἐκείνῳ συνῆσαν, οὐχ ἵνα δημηγορικοὶ ἢ δικανικοὶ γέ-
νοιντο, ἀλλ', ἵνα καλοί τε κἀγαθοὶ γενόμενοι, καὶ
οἴκῳ καὶ οἰκέταις καὶ οἰκείοις καὶ φίλοις καὶ πόλει καὶ
πολίταις δύναιντο καλῶς χρῆσθαι. καὶ τούτων οὐδεὶς,
οὔτε νεώτερος οὔτε πρεσβύτερος ὤν, οὔτ' ἐποίησε κακὸν
οὐδὲν, οὔτ' αἰτίαν ἔσχεν. Ἀλλὰ Σωκράτης γ', ἔφη 49
ὁ κατήγορος, τοὺς πατέρας προπηλακίζειν ἐδίδασκε,
πείθων μὲν τοὺς συνόντας αὐτῷ, σοφωτέρους ποιεῖν
τῶν πατέρων, φάσκων δὲ, κατὰ νόμον ἐξεῖναι παρα-
νοίας ἑλόντι καὶ τὸν πατέρα δῆσαι, τεκμηρίῳ τούτῳ
χρώμενος, ὡς τὸν ἀμαθέστερον ὑπὸ τοῦ σοφωτέρου
νόμιμον εἴη δεδέσθαι. Σωκράτης δὲ τὸν μὲν ἀμα- 50
θίας ἕνεκα δεσμεύοντα δικαίως ἂν καὶ αὐτὸν ᾤετο δε-
δέσθαι ὑπὸ τῶν ἐπισταμένων, ἃ μὴ αὐτὸς ἐπίστα-
ται· καὶ τῶν τοιούτων ἕνεκα πολλάκις ἐσκόπει, τί
διαφέρει μανίας ἀμαθία· καὶ τοὺς μὲν μαινομένους
ᾤετο συμφερόντως ἂν δεδέσθαι καὶ αὐτοῖς καὶ τοῖς
φίλοις, τοὺς δὲ μὴ ἐπισταμένους τὰ δέοντα, δικαίως
ἂν μανθάνειν παρὰ τῶν ἐπισταμένων. Ἀλλὰ 51
Σωκράτης γε, ἔφη ὁ κατήγορος, οὐ μόνον τοὺς πατέ-
ρας, ἀλλὰ καὶ τοὺς ἄλλους συγγενεῖς ἐποίει ἐν ἀτι-
μίᾳ εἶναι παρὰ τοῖς αὐτῷ συνοῦσι, λέγων, ὡς οὔτε
τοὺς κάμνοντας οὔτε τοὺς δικαζομένους οἱ συγγενεῖς ὠφε-
λοῦσιν, ἀλλὰ τοὺς μὲν οἱ ἰατροὶ, τοὺς δὲ οἱ συνδικεῖν
ἐπι-

dunt Platonem inter atque Xenophontem fuisse. *Hindeb.* Cod. Paris. 1 γένωνται.

§. 49. πατέρας προπηλακ.] Hoc nomine traducitur Socrates quoque Aristoph. Nub. 1407 seqq., vbi Phidippides, a Socrate institutus, verberat patrem, et demonstrat, iustum esse, patrem a filio verberari.

συνόντας αὐτῷ] Priscianus p. 1089 laudat ἑαυτῷ et infra §. 51 ἑαυτῷ συνοῦσι.

σοφωτέρους ποιεῖν] MS. 1 σοφωτέρους ἑαυτοὺς π. Puto Xenoph. dedisse αὐτοὺς, quod hic desideratur [sed commode intelligi potest, vt saepe. Z.]: *persuasit discipulis, se ipsos reddere sapientiores parentibus. Ern.*

ἑλόντι] Brodaeus legi iubet ἑλόντα, frustra. Nam ἑλὼν non est *conuictus*, sed *qui conuicit*: vt Aristoph. Nub. 842: Οἴμοι! τί δράσω, παραφρονοῦντος τοῦ πατρός; Πότερον παρανοίας αὐτὸν εἰσαγαγὼν ἕλω; ἢ τοῖς σοροπηγοῖς τὴν μανίαν αὐτοῦ φράσω;

§. 50. ᾤετο συμφ. ἂν] Cod. Paris. 3 legit ᾤετο ἂν συμφερ. ἂν δεδ.

§. 51. οἱ ἰατροὶ] Cf. Apolog. §. 20.